σαν· ἐντεῦθεν εἰς μίαν προήχθη τῶν μεγίστων ἐπαρχιῶν, καὶ πρὸς ἀρχιεπισκοπῆς ἐπήρθη ἀξίωμα, λάχος ἔκκριτον καθεστηκυῖα Χριστοῦ, καὶ καθ' ἑαυτὴν διεξαγομένη, καὶ τὸ οἰκεῖον ὑπὸ ποιμέσι διατάττουσα ποίμνιον.

Ἀλλ' οὔκουν ἄρα τοῦ τελχῖνος σατᾶν μὴ καὶ ταύτῃ βάσκανον ἐνιδεῖν, τοῦ γῆν ἀπειλοῦντος ἐξαλείφειν καὶ θάλασσαν· ἀμέλει καὶ χεῖρας ὁπλίζει βαρβαρικάς, καὶ πολέμιον (1) ἔθνος ἐπήγειρε κατὰ τῆς (2) ἐκκλησίας, καὶ μᾶλλον ὑποδρηστεῦον αὐτῇ· ἔθνος, τὰ μὲν τοῖς ὀδοῦσιν ἐσθίον, τὰ δὲ σπαράσσει τοῖς ὄνυξιν, ἄλλα δὲ ποσὶ συμπατοῦν, καὶ ἁπλῶς τὰ πάντα πρὸς ἀφανισμὸν ἀχρειοῦν, κατὰ τὸν Δανιὴλ θεαματισμόν. Οἱ γὰρ φρακτοὶ Λατῖνοι καὶ τοῖς Κυπρίοις ἐπέβρισαν, πόντος ἄλλος τις ἀχανὴς καὶ κατακλύζων τὸ προστυχόν, τοῦ προφανοῦς καὶ τὴν νῆσον ὑπανέχοντος βιαιότερος, παρ' ὅσον μὲν οὐ καλύψαι ταύτην φιλονεικεῖ, ἀλλὰ τοῖς οἰκείοις ὅροις συμπεριγράφεται, ἐν ἑαυτῷ συνθραύων (3) τὰ κύματα καὶ προνοίας χαλινοῖς ὑπείκων δημιουργοῦ.

Τὸ δὲ θράσος τῶν Ἰταλῶν, τοὺς οἰκείους ὑπερβαίνει σταθμοὺς καὶ κύματα κυλίνδει θυμοῦ· καὶ ὑπερόρια τρέχει, καὶ τῶν ὀθνείων κατεμπηδᾷ· τηλίκος ἐπερράγη τῇ καλῇ Κύπρῳ κλύδων ἀλλόκοτος, πρὸς ἣν ἡ θάλασσα σπένδεται καὶ ἡμεροῦται τὸ ῥόθιον (4)· ὁ δὴ τοιοῦτος κατακλυσμὸς μέχρι μὲν τινὸς τὰ ὡραῖα διέφθειρε, καὶ πᾶν ἀνάστημα κατέρριψε γῆς· ἤδη δὲ καὶ σωμάτων ἀνθρώπων παρήψατο· ἀλλ' ἦν ὅμως φορητὴν τὸ δεινόν, καίπερ ὂν βαρυσύμφορον· ἐπεὶ καὶ πρὸς σωματικὴν ἀπέβλεπε λύμην καὶ σκηνωμάτων ἀπώλειαν, συντιθεμένων ἐπὶ βραχὺ καὶ λυομένων μετ' οὐ πολύ, τὰ νῦν δὲ ἀλλὰ καὶ ψυχῶν τὸ πρᾶγμα κατεκαυχήσατο, καὶ τὸν ὀρθὸν λόγον τῆς εὐσεβείας διασαλεύειν ἐπιχειρεῖ· τοῖς γὰρ πολεμισταῖς Λατίνοις,

(1) Cotel. πολέμων. (2) τάς. (3) συνθράνων. (4) ῥόδιον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ